A

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ Σκηνὴ γʹ.

### ΣΤΡΕΨΙΑΔΗΣ, ΣΩΚΡΑΤΗΣ.

BISETUS. Ὁ Στρεψιάδης τὸν Σωκράτην καλεῖ, τῆς ἑαυτοῦ παρουσίας αἰτίαν αὐτῷ δηλοῖ, τὴν τῆς μαθήσεως ἐπιθυμίαν, καὶ μισθὸν ὑπισχνεῖται.

Στρ. Ὦ Σώκρατες.
Ὦ Σωκρατίδιον. Σω. τί με καλεῖς ὦ 'φήμερε. B
Στρ. Πρῶτον μὲν ὅ, τι δρᾷς ἀντιβολῶ κάτειπέ μοι.
Σω. Ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.
Στρ. Ἔπειτ' ἀπὸ ταῤῥοῦ τοὺς θεοὺς ὑπερφρονεῖς.
Ἀλλ' οὐκ ἀπὸ τῆς γῆς εἴπερ. Σω. Οὐ γὰρ ἄν ποτε
Ἐξηῦρον ὀρθῶς τὰ μετέωρα πράγματα. C
Εἰ μὴ κρεμάσας τὸ νόημα, καὶ τὴν φροντίδα
Λεπτὴν καταμίξας ἐς τὸν ὅμοιον ἀέρα.
Εἰ δ' ὢν χαμαὶ, τἄνω κάτωθεν ἐσκόπουν,
Οὐκ ἄν ποθ' εὗρον. οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ
Ἕλκει πρὸς αὑτὴν τὴν ἰκμάδα τῆς φροντίδος
Πάσχει δὲ ταὐτὸ τοῦτο καὶ τὰ κάρδαμα.
Στρ. Τί φῄς; ἡ φροντὶς ἕλκει τὴν ἰκμάδ' εἰς τὰ κάρδαμα; D
Ἴθι νῦν κατάβηθ' ὦ Σωκρατίδιον ὡς ἐμὲ,
Ἵνα με διδάξῃς ὧν περ οὕνεκ' ἐλήλυθα.

## ACTUS I. SCENA III.

### STREPSIADES, SOCRATES.

*HEM Socrates.*
*Hem Socratisce.* SO. *Quem vocas tu, qui in diem es?*
ST. *Quaeso te, dic hoc primum mihi, quid rei geras.*
SO. *In aere incedo, & Solem sic intuor.*
ST. *Deinde ex alto calatho despectas Deos:*
*Nequaquam vero è terra.* SO. *At enim nunquam ego prius*
*Sublimiora inuestigaui, vt decet,*
*Nisi suspensa foret animi intelligentia,*
*Et cogitatio tenuis in aerem*
*Consimilem permista. At si humi consisterem,*
*Et, quae supra, deorsum contemplarer, nihil*
*Vnquam subtile reperirem. Etenim vi sua*
*Tellus humorem noticiae ad se detrahit:*
*Quod idem solet accidere, vt aiunt, nasturtio.*
ST. *Quid ais? noticia humorem ad nasturtia trahit?*
*Age nunc, descende ad me ocyus, mi Socrates:*
*Vt ea me doceas, quorum adueni gratia.*

Σχόλια. Τί με καλεῖς ὦ 'φήμερε.] ἀντὶ τοῦ ὦ θνητέ. ὦ ἐφήμερα φρονῶν. καὶ ὑπερφρονῶν τὰ τῶν ἀνθρώπων. ἄλλως. ὦ ἄνθρωπε. ἐλέγετο δὲ ὁ Σωκράτης τὴν ὄψιν Σειληνῷ παρεμφαίνειν. σιμός τε γὰρ καὶ φαλακρὸς ἦν. περιέθηκεν οὖν αὐτῷ διὰ τὸ παρὰ Πινδάρῳ Σειληνοῦ φωνήν. ὁ γάρ τοι Πίνδαρος διαλεγόμενον παραγαγὼν τὸν Σειληνὸν τῷ Ὀλυμπίῳ, τοιούτους αὐτῷ περιέθηκε λόγους. ὦ τάλας ἐφήμερε. νήπιε βάζεις χρήματά μοι διαπομπεύων. ἅμα δὲ ὡς ὑπερφρονοῦντος τοῦ Σωκράτους τὰ ἀνθρώπινα, καὶ ἐν θεοῖς ὄντος αὐτοῦ διότι μετεωρολέσχης ἦν, οὕτως ἐφήμερον ἐποίησεν αὐτὸν καλοῦντα τὸν γέροντα. E Ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.] ἀντὶ τοῦ περιεργάζομαι τὸν ἥλιον. τὸν τούτου δρόμον ἐπιβαίνω τῷ ἀέρι. διὰ τοῦτο γὰρ καὶ μετέωρον αὐτὸν ἐποίησε καθήμενον. ἔγκειται δὲ ἅμα καὶ τὸ τοῖς πολλοῖς ἀσεβὲς διὰ τῆς λέξεως. ἴσον γὰρ τῷ καταφρονῶ. ἄλλως. F ὅτι περιφρονῶ εἶπε καὶ οὐ περισκοπῶ. ἵν' ἐπειδὴ τὸ περιφρονῶ, διπλοσήμαντόν ἐστι. καὶ ἀντὶ τοῦ περισκοπῶ. καὶ ἀντὶ τοῦ περιφρονῶ, ἀμφότερα εἰς τὸν Σωκράτην νοῶνται. ὅτι τε ἀέρα καὶ ἥλιον καὶ νεφέλας καὶ ὅσα τοιαῦτα ἐφρόντιζε καὶ ἐφιλοσόφει. καὶ ὅτι αἰθέριον ἑαυτὸν ἡγεῖτο, καὶ ὑπὲρ αὐτὸν μόνον οὐ τὸν ἥλιον. ὁ Στρεψιάδης δὲ, ἀντὶ τοῦ καταφρονῶ μόνον ἐνόησεν. Ἔπειτ' ἀπὸ ταῤῥοῦ.] Ἀττικῶς τὰ ἐξ οἰσύων πλέγματα ταῤῥὼ καλεῖται. τοὺς γὰρ καλάθους τοὺς γεωργικοὺς, ταῤῥοὺς καλοῦσι. νῦν δὲ τὴν κρεμάθραν οὕτως ἐκάλεσεν, G ἐφ' ἧς ὁ Σωκράτης ἐκρέματο. ἄλλως. ταῤῥός. μετέωρόν τι ἰκρίον ἐφ' ᾧ ἀλεκτοειδές κοιμῶνται. ἔφη δὲ ὑπερφρονεῖς ἀντὶ τοῦ εἰπεῖν περινοεῖς καὶ περισκοπεῖς. ἵνα διαβάλῃ τὸν Σωκράτην ὑπερφρονοῦντα τῶν θεῶν. Ἀλλ' οὐκ ἀπὸ τῆς γῆς εἴπερ.] ἀλλ' οὐκ ἀπὸ τῆς γῆς ἦν δυνατὸν ἄνθρωπον ὄντα διαγνῶναι τὰ θεῖα. Ἐξηῦρον ὀρθῶς.] ἀκριβῶς. Τὰ μετέωρα.] τὰ ὑψηλὰ καὶ οὐράνια. περὶ τούτων γὰρ τοῖς φιλοσόφοις τὰ ζητήματα, ἐπὶ τῆς γῆς δηλαδὴ ἐπιβεβηκώς. ψυχρὰ δὲ ἡ αἰτία, ἣν ὁ Σωκράτης λέγει. Λεπτὴν καταμίξας εἰς τὸν ὅμοιον ἀέρα.] ἀπολογεῖται πρὸς τὴν ἐρώτησιν τοῦ γέροντος ὁ Σωκράτης, λέγων τὴν αἰτίαν δι' ἣν κρεμάμενος, ἀλλ' οὐκ ἀπὸ τῆς γῆς φησὶ περιθεῖν τὰ μετέωρα πράγματα. ὅμοιον δὲ εἶπε τὸν ἀέρα ἀντὶ τοῦ ὁμοιολεπτομερῆ. ψυχρὰν δὲ καὶ ματαίαν αὐτῇ πεποίηκε παρέχοντα λύσιν. Οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ.] ἀντὶ τοῦ καὶ γάρ. Ἀττικῶς. Καλλίμαχος. ἀκούσαθ' Ἱππώνακτος. οὐ γὰρ ἀλλ' ἥκω. ἀντὶ τοῦ καὶ γὰρ ἥκω. Τὴν ἰκμάδα.] τουτέστι τὸ νοητικὸν καὶ γονιμώτατον (aliit, γνωστικόν) τῆς ψυχῆς. φασὶ γὰρ οἱ φιλόσοφοι καὶ περὶ τὴν κρᾶσιν τῶν ἀέρων τὸ ὀξύτερον, ἢ τὸ ἀραιότερον ἐπιβάλλειν τοῖς θείοις. διαπαίζει δὲ τὰ φιλοσόφων ἡ κωμῳδία. λόγος γὰρ παρ' ἐκείνοις, ὡς ὄντως ἐπισπᾶται εἰς ἑαυτὴν τὰς ὑποκειμένας οὐσίας ἡ γῆ. τὸ δὲ πάσχειν οὐ μόνον ἐπὶ τῶν πασχόντων τι λέγεται. ἀλλὰ καὶ ἐπὶ τῶν ποιούντων. καὶ γὰρ οἱ ποιοῦντες, τρόπον τινὰ καὶ αὐτοὶ πάσχουσι πάθος αὐτὸ τὸ ποιεῖν. τὰ οὖν κάρδαμα τὴν τῶν παρακειμένων αὐτοῖς βοτανῶν ὑγρότητα εἰς ἑαυτὰ ἕλκοντα, ξηρὰς αὐτὰς καταλείπει. καὶ ἔστι τοῦτο αὐτῶν πάθος. Καὶ τὰ κάρδαμα.] εἶδος βοτάνης ἀγρίου παρὰ Πέρσαις. νῦν δὲ, τὴν σκάφον λέγει. ταῦτα δὲ τῶν περὶ αὐτὰ φυομένων λαχάνων τὴν δύναμιν ἐπισπᾶται. καὶ πᾶν τὸ ἐν ἐκείνοις ὑγρὸν ἐπισπώμενον, αἴτιον τοῦ ξηραίνεσθαι καθίσταται. Ἡ φροντὶς ἕλκει.] δέον εἰπεῖν. ἡ γῆ ἕλκει τὰ κάρδαμα. ὁ δὲ ὡς ἰδιώτης συνέχεε τὴν φράσιν. καὶ ἀσαφὲς ἐποίησε τὸ δηλούμενον. τοῦτο δὲ πρὸς τὴν τοῦ Στρεψιάδου ἀμαθείαν ἐπιτηδείως ὁ ποιητὴς ἐποίησεν ἀδιανόητον.